εἰ μὴ κτανεῖν σφῷν Ἕκτορ᾽ ἢ Πάριν θεὸς
δίδωσιν; ἄνδρα δ᾽ οὐ πέπυσθε σύμμαχον
Τροίᾳ μολόντα Ῥῆσον οὐ φαύλῳ τρόπῳ;
ὃς εἰ διοίσει νύκτα τήνδ᾽ ἐς αὔριον,
οὔτ᾽ ἄν σφ᾽ Ἀχιλλέως οὔτ᾽ ἂν Αἴαντος δόρυ
μὴ πάντα πέρσαι ναύσταθμ᾽ Ἀργείων σχέθοι,
τείχη κατασκάψαντα καὶ πυλῶν ἔσω
λόγχῃ πλατεῖαν εἰσδρομὴν ποιούμενον.
τοῦτον κατακτὰς πάντ᾽ ἔχεις. τὰς δ᾽ Ἕκτορος
εὐνὰς ἔασον καὶ καρατόμους σφαγάς·
ἔσται γὰρ αὐτῷ θάνατος ἐξ ἄλλης χερός.
ΟΔ. δέσποιν᾽ Ἀθάνα, φθέγματος γὰρ ᾐσθόμην
τοῦ σοῦ συνήθη γῆρυν· ἐν πόνοισι γὰρ
παροῦσ᾽ ἀμύνεις τοῖς ἐμοῖς ἀεί ποτε·
τὸν ἄνδρα δ᾽ ἡμῖν ποῦ κατεύνασται φράσον·
πόθεν τέτακται βαρβάρου στρατεύματος;
ΑΘ. ὅδ᾽ ἐγγὺς ἧσται κοὐ συνήθροισται στρατῷ,
ἀλλ᾽ ἐκτὸς αὐτὸν τάξεων κατεύνασεν
Ἕκτωρ, ἕως ἂν νὺξ ἀμείψηται φάος.
πέλας δὲ πῶλοι Θρῃκίων ἐξ ἁρμάτων
λευκαὶ δέδενται, διαπρεπεῖς ἐν εὐφρόνῃ·
στίλβουσι δ᾽ ὥστε ποταμίου κύκνου πτερόν.
ταύτας κτανόντες δεσπότην κομίζετε,
κάλλιστον οἴκοις σκῦλον· οὐ γάρ ἐσθ᾽ ὅπου
τοιόνδ᾽ ὄχημα χθὼν κέκευθε πωλικόν.
ΟΔ. Διόμηδες, ἢ σὺ κτεῖνε Θρῄκιον λεών,
ἢ ᾽μοὶ παράσχες, σοὶ δὲ χρὴ πώλους μέλειν.
ΔΙ. ἐγὼ φονεύσω, πωλοδαμνήσεις δὲ σύ·
τρίβων γὰρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός.
χρὴ δ᾽ ἄνδρα τάσσειν οὗ μάλιστ᾽ ἂν ὠφελοῖ.
ΑΘ. καὶ μὴν καθ᾽ ἡμᾶς τόνδ᾽ Ἀλέξανδρον βλέπω

600. *τήνδ᾽ ἐς αὔριον*] Reiskius, *τὴν ἐπαύριον* B²C *τὴν ἐσαύριον*
ξ
reliqui. 601. *οὔτε σφ᾽ ABC* 607. *ἥκει γὰρ* B² *ἥκει γὰρ* C
609. *συνήθους* B²Cc 619. *κτανόντε* c*A* 623. *παράσχες*] *πάρεχε*
τ
B²C *παρέσχε* c *πάρες γε AB πάρεσχε C* *πώλων ABC*